# ΥΠΟΘΕΣΙΣ[1]).

Τὸ δρᾶμα τῆς Τρωϊκῆς ἐστι πραγματείας, ὥσπερ οἱ *ΑΝΤΗΝΟΡΙΔΑΙ* καὶ *ΑΙΧΜΑΛΩΤΙΔΕΣ* καὶ *ΕΛΕΝΗΣ ΑΡΠΑΓΗ* καὶ *ΜΕΜΝΩΝ*[2]). πεπτωκότος γὰρ ἐν τῇ μάχῃ τοῦ Ἀχιλλέως[3]) ἐδόκουν Αἴας τε καὶ Ὀδυσσεὺς ἐπ' αὐτῷ πλέον τι[4]) ἀριστεύειν περὶ τὴν τοῦ σώματος κομιδήν· καὶ κρινομένων περὶ τῶν ὅπλων κρατεῖ Ὀδυσσεύς. ὅθεν[5]) ὁ Αἴας, τῆς κρίσεως[6]) μὴ τυχὼν[7]), παρακεκίνηται καὶ διέφθαρται τὴν γνώμην[8]), ὥστε ἐφαπτόμενος τῶν ποιμνίων[9]) δοκεῖν τοὺς Ἕλληνας διαχρήσασθαι[10]). καὶ τὰ μὲν ἀνεῖλε τῶν τετραπόδων, τὰ δὲ δήσας ἀπάγει[11]) ἐπὶ τὴν σκηνήν· ἐν οἷς[12]) ἐστι[13]) καὶ κριός τις[14]) ἔξοχος, ὃν ᾤετο εἶναι Ὀδυσσέα, ὃν δήσας ἐμαστίγωσεν, ὅθεν καὶ τῇ[15]) ἐπιγραφῇ πρόσκειται ὁ *ΜΑΣΤΙΓΟΦΟΡΟΣ*[16]), ἢ πρὸς ἀντιδιαστολὴν τοῦ *ΛΟΚΡΟΥ*[17]). Δικαίαρχος δὲ *ΑΙΑΝΤΟΣ ΘΑΝΑΤΟΝ* ἐπιγράφει. ἐν δὲ ταῖς διδασκαλίαις ψιλῶς *ΑΙΑΣ* ἀναγέγραπται[18])[19]).

1. Found in F. I. S. and other recent mss. not in L.
2. ἀγαμέμνων E.
3. τοῦ Ἀχιλλέως ἐν τῇ μάχῃ Jen.
4. τι om. Jen.
5. ὅθεν καὶ F. J. S. Dind. ὅθεν vulg.
6. τῆς κρίσεως om. Jen.
7. μὴ τυχὼν] ἀποτυχὼν Jen.
8. παρακεκίνηται καὶ διέφθαρται τὴν γνώμην] Anon. ap. Suid. v. παρακινοῦντα: Οὐχ οὕτω παρακεκινηκότες καὶ διεφθαρμένοι τὴν γνώμην. *Schæf.*
9. ποιμνίων] καὶ τέμνων add. T.
10. διαχειρίσασθαι S. T. Jen. Dresd. a. and some mss. of Br. Turn. Dind. διαχρήσασθαι vulg. Wund.
11. ἀπάγει] ἄγει F.
12. καὶ τὰ — ἐν οἷς om. Jen.
13. ἐστι] ἦν Jen.
14. ἐστί τις καὶ κριὸς F. J. Dind. ἐστὶ καὶ κριός τις vulg. καὶ κριός ἐστί τις S.
15. τῇ] τοῦτο S.
16. ὁ μαστ. ed. Br. Αἴας μαστ. T.
17. Αἴαντος add. T.
18. ἀναγέγραπται] γέγραπται S. ἐπιγέγραπται Mosq. 357. Here ends the more ancient ὑπόθεσις. What follows, though connected by means of the particles μὲν οὖν, Dindorf suspects to be the composition of some Byzantine grammarian.
19. Δικαίαρχος — ἀναγέγραπται om. T.

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG